# La linearità espositiva di Thuc. I 98-100.2 (eventi della Lega delio-attica negli anni 476-465 a.C.)

(98.1) **Πρῶτον** μὲν Ἠιόνα τὴν ἐπὶ Στρυμόνι Μήδων ἐχόντων πολιορκίᾳ εἷλον καὶ ἠνδραπόδισαν, Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος.

(98.2) **ἔπειτα** Σκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νῆσον, ἣν ᾤκουν Δόλοπες, ἠνδραπόδισαν καὶ ᾤκισαν αὐτοί.

(98.3) **πρὸς δὲ Καρυστίους** αὐτοῖς ἄνευ τῶν ἄλλων Εὐβοέων πόλεμος ἐγένετο, **καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν**.

(98.4) Ναξίοις δὲ ἀποστᾶσι **μετὰ ταῦτα** ἐπολέμησαν καὶ πολιορκίᾳ παρεστήσαντο, πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεστηκὸς ἐδουλώθη, ἔπειτα δὲ καὶ τῶν ἄλλων ὡς ἑκάστῃ ξυνέβη.

(99) [considerazioni di Tucidide sulle cause delle ribellioni degli alleati]

(100.1) Ἐγένετο δὲ **μετὰ ταῦτα** καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους, καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος, καὶ εἷλον τριήρεις Φοινίκων καὶ διέφθειραν τὰς πάσας ἐς διακοσίας.

(100.2) **χρόνῳ δὲ ὕστερον** ξυνέβη Θασίους αὐτῶν ἀποστῆναι, (…)